ἀριθμόν. ἔστιν ἄρα ὡς ἡ ΒΗ μονὰς πρὸς τὸν ΕΚ ἀρι-
θμόν, οὕτως ἡ ΗΘ μονὰς πρὸς τὸν ΚΛ ἀριθμόν, καὶ ἡ
ΘΓ μονὰς πρὸς τὸν ΛΖ. ἔστιν ἄρα καὶ ὡς εἷς τῶν ἡγου-
μένων πρὸς ἕνα τῶν ἑπομένων, οὕτως ἅπαντες
οἱ ἡγούμενοι πρὸς ἅπαντας τοὺς ἑπομένους·
ἔστιν ἄρα ὡς ἡ ΒΗ μονὰς πρὸς
τὸν ΕΚ ἀριθμόν, οὕτως ὁ ΒΓ
πρὸς τὸν ΕΖ· ἴση δὲ ἡ ΒΗ μονὰς
τῇ Α μονάδι, ὁ δὲ ΕΚ ἀριθμὸς
τῷ Δ ἀριθμῷ· ἔστιν ἄρα ὡς
ἡ Α μονὰς πρὸς τὸν Δ ἀριθμόν,
οὕτως ὁ ΒΓ πρὸς τὸν ΕΖ· ἰσά-
κις ἄρα ἡ Α μονὰς τὸν Δ ἀ-
ριθμὸν μετρεῖ καὶ ὁ ΒΓ τὸν ΕΖ· ὅ-
περ ἔδει δεῖξαι:-

ιϛ Ἐὰν δύο ἀριθμοὶ πολλαπλασιάσαντες ἀλλήλους ποι-
ῶσί τινας, οἱ γενόμενοι ἐξ αὐτῶν ἴσοι ἀλλήλοις ἔ-
σονται· ἔστωσαν δύο ἀριθμοὶ οἱ Α Β· καὶ ὁ μὲν Α τὸν
Β πολλαπλασιάσας τὸν Γ ποιείτω, ὁ δὲ Β τὸν Α
πολλαπλασιάσας τὸν Δ ποιείτω· λέγω ὅτι ἴσος
ἐστὶν ὁ Γ τῷ Δ. ἐπεὶ γὰρ ὁ Α τὸν Β πολλαπλασιά-
σας τὸν Γ πεποίηκεν, ὁ Β ἄρα τὸν Γ μετρεῖ κα-
τὰ τὰς ἐν τῷ Α μονάδας. μετρεῖ δὲ καὶ ἡ Ε μονὰς
τὸν Α ἀριθμὸν κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἰσά-
κις ἄρα ἡ Ε μονὰς τὸν Α ἀριθμὸν μετρεῖ καὶ ὁ Β τὸν Γ·
ἐναλλὰξ ἄρα ἰσάκις ἡ Ε μονὰς τὸν Β ἀριθμὸν μετρεῖ

καὶ ὁ Α τὸν Γ. πάλιν ἐπεὶ ὁ Β τὸν Α πολλαπλασιάσας τὸν
Δ πεποίηκεν, ὁ Α ἄρα τὸν Δ μετρεῖ
κατὰ τὰς ἐν τῷ Β μονάδας· μετρεῖ δὲ
καὶ ἡ Ε μονὰς τὸν Β κατὰ τὰς ἐν αὐτῷ
μονάδας· ἰσάκις ἄρα ἡ Ε μονὰς
τὸν Β ἀριθμὸν μετρεῖ καὶ ὁ Α τὸν Δ.
ἰσάκις δὲ ἡ Ε μονὰς τὸν Β ἀριθμὸν
μετρεῖ καὶ ὁ Α τὸν Γ· ἰσάκις ἄρα ὁ Α
ἑκάτερον τῶν Γ Δ μετρεῖ· ἴσος ἄρα
ἐστὶν ὁ Γ τῷ Δ· ὅπερ ἔδει δεῖξαι:-

ιζ Ἐὰν ἀριθμὸς δύο ἀριθμοὺς πολλαπλασιάσας ποιῇ
τινας, οἱ γενόμενοι ἐξ αὐτῶν τὸν αὐτὸν ἕξου-
σι λόγον τοῖς πολλαπλασιασθεῖσιν. ἀριθμὸς γὰρ
ὁ Α δύο ἀριθμοὺς τοὺς Β Γ πολλαπλασιάσας τοὺς
Δ Ε ποιείτω· λέγω ὅτι ἐστὶν ὡς ὁ Β πρὸς τὸν Γ, οὕτως
ὁ Δ πρὸς τὸν Ε. ἐπεὶ γὰρ ὁ Α τὸν Β πολλαπλασιά-
σας τὸν Δ πεποίηκεν, ὁ Β ἄρα τὸν Δ μετρεῖ κα-
τὰ τὰς ἐν τῷ Α μονάδας. μετρεῖ δὲ καὶ ἡ Ζ μονὰς
τὸν Α ἀριθμὸν κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἰσά-
κις ἄρα ἡ Ζ μονὰς τὸν Α ἀριθμὸν μετρεῖ καὶ ὁ Β τὸν Δ·
ἔστιν ἄρα ὡς ἡ Ζ μονὰς πρὸς
τὸν Α ἀριθμόν, οὕτως ὁ Β πρὸς
τὸν Δ. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ἡ Ζ
μονὰς πρὸς τὸν Α ἀριθμόν, οὕ-
τως ὁ Γ πρὸς τὸν Ε· καὶ ὡς ἄρα
ὁ Β πρὸς τὸν Δ, οὕτως ὁ Γ πρὸς

